eul_wid: hps-au

*Μένανδρος ὁ Ἀθηναῖος* · Menander of Athens

# Uncertain Fable

*Ἄδηλος Μῦθος*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κωμῳδία Ἀττική* Attic Comedy
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

3.1 ἐπ[
3.2 ἔχ[
4 ‵—′
5 ἐκσωσ[
5.1 ‵—′
5.2 μάρτυρα[
5.3 ἐπ’ ἄλλα ς.[
5.4 γείτοσιν ἑτοιμ[
5.5 τὸν ἐγκεκλει[
10 (ΛΑΧΗΣ)
10.1 παῖ, Μοσχίων [
10.2 Ἀρεοπαγίτης ε[
11.1 ‵—′
11.2 ἔτι γάρ [ς’ ἑ]τ[α]ῖρ[ον
11.3 (ΧΑΙΡΕΑΣ)
13.1 ἀδικεῖ μ’ ἐκεῖνος οὐδὲν ἐξ ἐμοῦ παθών.
13.2 ἤρα μὲν ἀεὶ τῆς κόρης καὶ πολλά μοι
15.1 πράγματα παρεῖχεν, ὡς δ’ ἐπέραινεν οὐδὲ ἓν
15.2 αὑτῶι παραδοῦναι τὸν [γάμο]ν πείθων, ἰδού,
15.3 ἐξειργάσατο.
17.1 (Λα) τί οὖν; ἀναίνει τὴν ἐμὴν
17.2 ἔχειν θυγατέρα;
18.1 (Χαι) τοῖς δὲ δοῦσι τίνα λόγον
18.2 ἐρῶ, Λάχης;
19 (Λα) γενοῦ γάρ, ἱκετεύω [ς’] ἐγώ—

20 (Χαι) οἴμοι, τί ποήσω;
20.1 (ΚΛΕΑΙΝΕΤΟΣ) τίς ὁ βοῶν ἐστίν ποτε
20.2 πρὸς ταῖς θύραις;
21.1 (?Χαι) εὐκαιρότ[α〈τά〉 γ]ε νὴ Δία
21.2 [ ]εμε. τί ποήσω, Λάχης;
21.3 (Λα) πείθωμεν αὐτόν.
23.1 (Χαι) ὢ βίας ἐρρωμένης.
23.2 πείθω παραδοῦναι τὴν ἐμὴν ἀδικούμενος
25 αὐτός;
25 (Λα) ὑπόμεινον δι’ ἐμέ.
25.1 (Χαι) νὴ τὸν Ἥλιον
25.2 αἰσχύνομαι Λάχης σε. τί.....[
25.3 ἄκουε δή μου. Μοσχίων τὴν παρθένον
25.4 ἑλ]ὼν ἔχει, Κλεαίνετε.
28.1 〈Κλ〉 ἠδικήμεθα.
28.2 (Χαι) μηθὲν βοήσηις. γνησίων ἐπὶ σπορᾶι
30.1 παίδων. ὁ πατὴρ αὐτοῦ [παρ]ὼν Λάχης ὁδὶ
30.2 τοῦτ’ ἐπιβεβαιοῖ. φὴις σ[ύ;
31.1 [Λα] φημ]ί, Χαιρέα.
31.2 οὐ] γάρ τι βούλ[
31.3 (desunt uersus v uel vi)
31.4 ]πος ἦν
35.1 ] ἐμοὶ
35.2 κα]λῶς ἔχει:
35.3 κα]τὰ τρόπον
35.4 ]γάρ μοι διαφέρει
35.5 τ]ὰ γεγονότα:
40.1 ]πρᾶός γ’ εἶ σφόδρα
40.2 ]εν: οὐδὲ γάρ ς’ ὁρῶ
40.3 ] ἀγανακτ[
40.4 (Λα) [ ] ἐ[κ τηλι]κούτων νῦν φόβων
40.5 τὸν ὑὸν ἐκ[λυσά]μενος.
45.1 (Κλ) ἀλλὰ μὴν πάλαι
45.2 ἡμῖν ἔδοξ[ε τοῦ]τ’· ἔχει τὴν παρθένον
45.3 ὁ Μοσχίων· [ἔλαβ]’ ἐθελοντής, οὐ βίαι.
45.4 ὠιόμεθα χαλεπανεῖν σε τοῦτο πυθόμενον.
45.5 ἀστεῖος ἀποβέβηκας· εὐτυχήκαμεν· περὶ τοῦ βοῶμεν; (Λα) πῶς λέγεις; (Κλ) ὥσπερ λέγω. (Λα) οὐ Χαιρέαι τὸ πρῶτον ἐξεδώκατε
45.6

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὴν παῖδα;
52 (Κλ) μὰ Δία.
52.1 (Λα) τί σὺ λέγεις; οὐ Χαιρέαι;
52.2 ἀλλὰ τίνι;
53.1 (Κλ) πάνυ γελοῖον· οὐκ ἀκήκοας;
53.2 τῶι σῶι νεανίσκωι.
54 (Λα) τί λέγεις;
54 (Κλ) νὴ τοὺς θεούς,
55 καὶ παιδίον γὰρ γέγονεν ἐκ τούτου.
55.1 (Λα) τί φήις;
55.2 ἐκ Μοσχίωνος; ὦ πολυτίμητοι θεοί,
55.3 ἐρρωμένου πράγματος.
57.1 (Κλ) Ἄπολλον, ν[οῦν ἔχεις;
57.2 πρωί γε ς', ὡς ἔοικ', ἐπήινεσα.
58.1 (Λα) οὐδὲ ἓν
58.2 ὁ Χαιρέας ἄρ' ἠδίκηται;
59 〈Κλ〉 φίλτατος—
60 τί γὰρ ἠδίκηται; —Χαιρέας.
60.1 (Λα) οὐθέν; τί οὖν
60.2 ἐβόα πορευθεὶς δεῦρο;
61.1 (Κλ) ἴσως ἐβούλετο—
61.2 (Λα) ἐβούλετ'; ἐπ' ἐμὲ ταῦτα συνετάξασθ' ἄρα
61.3 ὦ Γῆ.
63 (Κλ) τί ποιεῖς;
63 (Λα) οὐθέν, ἀλλ' ὅμως ἔα δὶς ἢ τρὶς ἀνακραγεῖν με, πρὸς τῆς Ἑστίας.

Eulogikon public reading copy · View original HTML at eulogikon.org